Ὁμηρικόν. δεῦρό γε νυνὶ τρίποδος περιδώμεθα. γίνεται δὲ οὕτω. δίδημι τὸ δεσμεύω. ὁ μέλλων διδήσω. ὁ δεύτερος ἀόριστος ἔδην. μέσος ἐδέμην ἔδετο καὶ ἀποβολῇ τοῦ σ ἔδεο καὶ ἔδου. καὶ τὸ προστακτικὸν δοῦ καὶ περίδου. καὶ Ὅμηρος δίδει μόσχοισι λύγοισιν. ὡς ἄγροικος δὲ πάλιν ὁ πρεσβύτης ἀπεκρίνατο. ὁ μὲν γὰρ τὸ τῶν ποιημάτων ἔλεγε μέτρον. ὁ δὲ ὡς ἐπὶ τῶν γεωργικῶν ἐδέξατο.

BISETVS. Περίδου δὲ δύναται καὶ παρὰ τὸ περιδίδοσθαι παράγεσθαι. δίδωμι ὁ β. ἀόριστος μέσος ἐδόμην, ἔδοσο. ἔδοτο, καὶ ἰωνικῶς ἔδοο, κατ' ἀποβολὴν τοῦ σ, καὶ κατ' ἀττικὴν κρᾶσιν, ἔδου. τὸ προστακτικὸν, δοῦ, δόσθω καὶ μετὰ τῆς προθέσεως, περίδου. ὃ καὶ βέλτιον. Εὐστάθιος.

A περιδόσθαι τὸ στοίχημα θέσθαι, καὶ συμφωνῆσαι περί τινος. ἐπιδόσθαι δὲ, τὸ μάρτυρας καταστῆσαι. ἀλλαχοῦ δὲ τὸ περιδόσθαι, τὸ συνθέσθαι, καὶ στοίχημα θέσθαι, παρὰ τὸ δεῖσθαι, ὅ ἐστι δεσμεῖσθαι ταῖς συνθήκαις τοὺς οὕτω συμφωνοῦντας. ὅτι ἐν τῷ

Δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος.

καὶ ἐν τῷ

--ἐμέθεν περιδώσομαι αὐτῆς.

ἀντὶ τοῦ ὑπὲρ ἐμαυτῆς δώσω. σημείωσαι δὲ τὸ περιδώμεθον, καὶ παρὰ τὸ περιδώμεθον κατὰ κρᾶσιν δύνασθαι παρά-

B γεσθαι καὶ παρὰ τὸ περιδόσθαι, τὸ δὲ περιδώσομαι, παρὰ τὸ περιδίδομαι.

Εἰ μὴ τετράμετρόν ἐστιν ἡμιεκτέον.
Σω. Ἐς κόρακας, ὡς ἄγροικος εἶ καὶ δυσμαθής.
Ταχὺ γ' ἂν δύναιο μανθάνειν σὺ περὶ ῥυθμῶν.
C
Στ. Τί δέ μ' ὠφελήσουσ' οἱ ῥυθμοὶ πρὸς τἄλφιτα;
Σω. Πρῶτον μὲν εἶναι κομψὸν ἐν συνουσίᾳ.
Εἶτ' ἐπαΐειν ὁποῖός ἐστι τῶν ῥυθμῶν,
Κατ' ἐνόπλιον, χὠποῖος αὖ κατὰ δάκτυλον.
Στρ. Κατὰ δάκτυλον; νὴ τὸν Δί' ἀλλ' οἶδ'. Σω. εἰπὲ δή.
Στρ. Τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ δακτύλου;
D
Πρὸ τοῦ μὲν, ἔτ' ἐμοῦ παιδὸς ὄντος, οὑτοσί.
Σω. Ἀγρεῖος εἶ καὶ σκαιός. Στρ. οὐ γὰρ, ὦ 'ζυρέ,
Τούτων ἐπιθυμῶ μανθάνειν οὐδέν. Σω. τί δέ;
Στρ. Ἐκεῖν' ἐκεῖνο, τὸν ἀδικώτατον λόγον.
Σωκρ. Ἀλλ' ἕτερα δεῖ σε πρότερα τούτου μανθάνειν,
E
Τῶν τετραπόδων ἅττ' ἐστὶν ὀρθῶς ἄρρενα.
Στρ. Ἀλλ' οἶδ' ἔγωγε τἄρρεν', εἰ μὴ μαίνομαι.

ST. *Depone pignus, an tetrametron non fiet*
*Dimidium semisextarij.* SO. *abi hinc in malam crucem:*
*Quàm tu ingenio agresti es? quàm porrò indocilis es?*
*Sed fortè citiùs addiscere poßis Rythmos?*
ST. *Quid ad farinam proderunt mihi Rythmi?*
SO. *Primò quidem in conuictu vt sis bellatulus:*
*Deinde, vt poßis intelligere, qui modus*
*Saltationi armatæ competat optimè,*
*Qui rursum ad Dactylum quadret quàm maximè.*
ST. *Ad Dactylum? sanè hoc noui.* SO. *dic, quomodo?*
ST. *Quis enim alius sit digitus, quàm isthic, quem vides?*
*Nam Dactylus hic erat, cùm ego adhuc essem puer.*
SO. *Nullius pretij homo, & perquàm sinister es.*
ST. *At ego nihil horũ quicquam cupio discere.*
SO. *Quid igitur?* ST. *illud, illud verbum iniurium.*
SO. *Sed oportet te alia priùs, quàm isthuc, prædiscere:*
*Quæ masculini generis sint animalia.*
ST. *At noui ego, quod sit masculum, ni insanio.*

Σχόλια. Εἰ μὴ τετράμετρον.] πρὸς τὸ τετράμετρον ἀπήντησε. τὸ ἡμιεκτέον μέτρον ἐστὶ τέσσαρα, ὡς πλεονάκις ἴσως τοῦ δέοντος εἴρηται. Ταχὺ δ' ἄν.] ἐν εἰρωνείᾳ. λέγει δὲ εἰς τὸ κιθαρίζειν ταχὺ δυνηθεὶς φησὶν αἰσθάνεσθαι καὶ μεταλαμβάνειν τὸ κιθαρίζειν. Κομψόν.] ἀντὶ τοῦ πιθανὸν καὶ εὔχαριν ἐν συνόδῳ καὶ τῇ πρὸς ἑτέρους κοινωνίᾳ πιθανὸν καὶ ἀστεῖον φαίνεσθαι τοῖς συνοῦσιν. Κατ' ἐνόπλιον.] εἶδος ῥυθμοῦ πρὸς ὃν ὀρχοῦνται σείοντες τὰ ὅπλα. ἔστι δὲ ὁ ἐν ἡμιολίῳ. ἡ γὰρ μακρὰ πρὸς τὰς δύο βραχείας τὸν τι ἔχει ῥυθμὸν ἐκ τετραποδίας ἀναπαιστικὸν, ὃς δέχεται πάντας τοὺς δισυλλάβους πόδας. οἱ δὲ ἐνόπλιον τὸν ἀμφίμακρον, ὃς καὶ κρητικὸς καλεῖται ἀπὸ τοῦ εἰς τοὺς Κουρῆτας ἀναγομένου μέλους. τούτῳ γὰρ τῷ μέτρῳ προσορχοῦνται σείοντες τὰ ὅπλα. καλεῖται δὲ ἐνόπλιον κατὰ δάκτυλον ᾧ χρῶνται (ζήτει τίνες. ἴσως δὲ λείπει τὸ, οἱ αὐληταί. Κατ' ἐνόπλιος ὁ μὲν δύο δακτύλους ἔχων σπονδεῖον κατὰ τὸ πάλιν καὶ πάλιν. οἷον, Ὣς φάτο δακρυχέων τοῦ δ' ἔκλυε πότνια μήτηρ.

λέγοιτο δ' ἂν ἴσως καὶ ἐνόπλιον, διὰ τὸ πρέπειν μὲν ῥυθμὸν τοιοῦτον, καὶ τοῖς ἄλλοις κινουμένοις μετὰ συντο-

F νίας. ἐπὶ πλέον δὲ τοῖς μεθ' ὅπλων σεμνῶς πως δῶσι καὶ πυρριχίζουσι. Κατὰ δάκτυλον.] ἀριθμητικόν ἐστι μέτρον. ἔστι δὲ ῥυθμὸς, κρούματος εἶδος κατὰ δάκτυλον. ᾧ χρῶνται οἱ αὐληταί. ὁ κατὰ δάκτυλον ῥυθμός ἐστιν ὁ ἐν ἴσῳ λόγος. ὁ δὲ ἐνόπλιος καὶ προσωδιακὸς καλούμενος ὑπό τινων, σύγκειται ἐκ σπονδείου καὶ πυρριχίου καὶ τροχαίου καὶ ἰάμβου. συνεμπίπτει δὲ ἔσθ' ὅτε τῇ τετραποδίᾳ ἀναπαιστικῇ, ἢ βάσεσι δυσὶν ἀναπαιστικῇ καὶ ἰωνικῇ. Τίς ἄλλος.] τὴν παρατροπὴν ἐατέον μεταξὺ τοῖν δυοῖν, ὡς ἐν

G τοῖς πλείστοις σχεδὸν φέρεται. ὁ πρότερος Σωκράτους, τίς ἄλλος ἀντὶ τουτουῒ τοῦ δακτύλου. καὶ τάχα εἴη λέγων τῷ γέροντι ἕτερόν τινα εἶναι δάκτυλον νομίζεις ἢ τοῦτον, δεικνὺς αὐτῷ ἕνα τῶν δακτύλων τῶν αὐτοῦ. ὅταν γὰρ περὶ ῥυθμῶν οὐ περὶ τούτου τοῦ δακτύλου φησὶν, ἀλλὰ περὶ ἑτέρου. ὡς γὰρ ἄγροικος καὶ ἀπαίδευτος ἐρεῖ οὐδὲν ἧττον δείξειν τὸν μέσον δάκτυλον ἀσελγαινόμενος. ἐὰν δὲ παραιρεταί,